Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars III. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Beati Cyrilli Alexandrini oratio, Ephesi habita in templo sancti Ioannis euangelistae.

urn:nbn:de:hbz:466:1-15241

Visual Library

ANNO CHRISTI 431.

* ΟΜΙΛΙΑ ΤΟΥ ΜΑΚΑΡΙΟΥ Κυρίλλου Ἀλεξανδρείας, λεχθεῖσα ἐν Ἐφέσῳ, ἐν ἡμέρᾳ τοῦ ἁγίου Ἰωάννου τοῦ εὐαγγελιστοῦ.

* Τοῦ ἁγίου Κυρίλλου ἐξήγησις, λεχθεῖσα ἐν τῷ ἁγίῳ Ἰωάννῃ τῷ εὐαγγελιστῇ.

ΤΗΣ μὲν τῶν ἁγίων εὐκλείας τε καὶ δόξης ἐλάσσων ἐστὶ πᾶς λόγος· γεγόνασι γὰρ φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες, κατὰ τὸ γεγραμμένον· ὅταν δὲ τὰ θεῖα λαλῶσι μυστήρια, πρέπον ἂν εἴη παρὰ πάντων λέγεσθαι πρὸς αὐτούς· οὐκ ἐστὲ ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς, τὸ λαλοῦν ἐν ὑμῖν. διεκήρυξαν γὰρ ἡμῖν τὸν Ἰησοῦν, τὸ φῶς τὸ ἀληθινόν, τὴν ζωὴν τὴν αἰώνιον· ᾧ καὶ ἡμεῖς λέγομεν κατὰ τὴν φωνὴν τοῦ μακαρίου Δαυίδ· πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματί σου, ὕψιστε. ἐπὶ μὲν γὰρ τῆς διὰ Μωσέως κρατούσης ἐντολῆς, οὔπω τῶν εὐαγγελικῶν κηρυγμάτων εἰσκεκομισμένων, γνωστὸς ἦν ἐν τῇ Ἰουδαίᾳ ὁ θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ. ἰσχνόφωνος γὰρ καὶ βραδύγλωσσος ἦν ὁ Μωσῆς. διὰ τοῦτο καὶ μετὰ μόνην ἠκούετο τὴν Ἰουδαίαν ὁ νόμος. ἐπειδὴ δὲ τὸ φῶς ἡμῖν ἐπέλαμψε τὸ ἀληθινόν, καὶ παραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκὸς θεὸς ὢν ὁ λόγος, μεστὰ γέγονε τὰ πάντα αὐτοῦ· πανταχοῦ ναοὶ καὶ θυσιαστήρια· πανταχοῦ χορευταί, καὶ προσκυνηταί, καὶ ποιμένες ἀγαθοί, καὶ λογικῶν θρεμμάτων ἀγέλαι, στενὰς ἀποφαίνουσαι τῷ πλήθει τὰς ἱερὰς αὐλάς. πρὸ μὲν γὰρ τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιδημίας, ἐπὶ γῆς ἐπλανᾶτο τὸ γένος ἡμῶν· ἐλάτρευον τῇ κτίσει παρὰ τὸν κτίσαντα·

*BEATI CYRILLI Alexandrini oratio, Ephesi * dicta in die sancti Ioannis euangelistæ.*

* *habita in templo sancti*

SANCTORVM gloriam celebritatemque nulla quidem assequi potest oratio. Extiterunt enim mundi luminaria, *verbum vitæ*, vt scriptum est, *continentes*. Sed cum diuina proloquuntur mysteria, conuenit ab omnibus ad illos dici: *Non estis vos qui loquimini, sed spiritus Patris vestri qui loquitur in vobis*. Prædicauerunt enim nobis Iesum, lumen illud verum, & vitam æternam: cui & nos quoque, iuxta beati Dauidis vocem, dicimus: *Omnis terra adoret te, & psallat tibi, psallat nomini tuo, Altißime*. Enimuero dum lex per Moysen promulgata adhuc vigeret, euangelica prædicatione nondum allata, *notus erat in Judæa Deus, in Israel magnum nomen eius*. Erat enim Moyses voce exili, linguaque tardiore; vnde per solam Iudæam audiebatur lex. At vbi vera illa lux nobis illuxit, & Deus Verbum, æque ac vnus ex nobis, carni & sanguini communicauit, omnia illius plena facta sunt: vbique templa, vbique altaria, vbique exultantium chori, vbique veri adoratores, & boni pastores, & rationalium pecorum greges præ multitudine sacras caulas angustas reddunt. Sane ante Saluatoris nostri aduentum mortalium genus in terra errabat: seruiebant creaturæ potius quam creatori;

CAP. XI.

*Philipp. 2.*

*Matth. 10.*

*Psal. 65.*

*Psal. 75.*

*Exod. 4.*

*Hebr. 2.*

Rom. 1. adorabant enim opera manuum suarum; & vnicuique errantium id Deus erat, quod animo placuisset. Verum, vt modo aiebam, apparuit nobis vnige- Ioan. 10. nitum Dei Verbum, pastor ille bonus, & agnus verus, quem sancta Dei genitrix & nuptiarum expers Maria e virgineis visceribus nobis peperit, germen viuificum, inhumanatum Deum, in serui forma liberum: illum nostri similem propter nos, & eumdem supra omnem creaturam propter se: eumdem in demissione secundum nos, & in diuina gloria conspicuum: eum qui semetipsum humiliauit, & eiusdem cum Patre sedis particeps est: eum qui sese exinaniuit, & suis qui digni sunt bona de sua plenitudine distribuit: eum qui vt homo, perinde ac vnus ex nobis adorat; vt autem Deus, non in terra solum, sed & in cælis quoque ado- Hebr. 1. ratur. *Cum enim*, inquit, *inducit primogenitum in orbem terræ*, di- Psal. 96. *cit: Et adorent eum omnes angeli Dei.* Quis obsecro is est qui in orbem terrarum ingressus est? Quo autem modo in illum inductus est? Mysterium hoc aperi, o euangelista: effare etiam Marc. 3. nunc, o beate Ioannes, qui tonitrui filius appellatus es, qui orbem totum magno & eximio sonitu concussisti; qui voces habes immortales; & obliuio ac tempus tuis cedũt verbis. Ecce tantus hic pastorum cœtus ad te venit; remoue nobis lapidem, Gen. 29. sicut beatus Iacob pastoribus: resera nobis puteum vitæ: da Isa. 12. vt nunc quoque de salutaris fontibus hauriamus; imo vero tuum nobis fontem appone.

προσκεκυνήκασι γὰρ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν, καὶ τῶν πλανωμένων ἑκάστῳ θεὸς ἦν τὸ δοκοῦν. ἀλλ' ἐπέφανεν ἡμῖν, ὡς ἔφην, ὁ μονογενὴς τοῦ θεοῦ λόγος, ὁ ποιμὴν ὁ καλὸς, ὁ ἀμνὸς ὁ ἀληθινὸς, ὃν ἡ ἁγία θεοτόκος καὶ ἀπειρόγαμος Μαρία ἐκ παρθενικῶν ἡμῖν λαγόνων * ἐβλάστησε τὸ ζωοποιὸν βλάστημα, τὸν ἐνανθρωπήσαντα θεὸν, τὸν ἐλεύθερον ἐν δούλου μορφῇ· τὸν καθ' ἡμᾶς δι' ἡμᾶς, καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν δι' ἑαυτόν· τὸν ἐν ὑφέσει τῇ καθ' ἡμᾶς, καὶ ἐν δόξῃ θεοπρεπεῖ· τὸν ἑαυτὸν ταπεινώσαντα, καὶ σύνθρονον τῷ πατρί· τὸν ἑαυτὸν κενώσαντα, καὶ ἐκ τοῦ ἰδίου πληρώματος διανέμοντα τοῖς * ἰδίοις τὰ ἀγαθά· τὸν προσκυνοῦντα μεθ' ἡμῶν ἀνθρωπίνως, καὶ προσκυνούμενον ὡς θεὸν, οὐκ ἐν γῇ μόνον, ἀλλὰ καὶ ἐν τοῖς οὐρανοῖς· ὅταν γάρ, φησὶν, εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτὸν πάντες ἄγγελοι θεοῦ. τίς οὖν ἄρα ἐστὶν ὁ εἰσβεβηκὼς εἰς τὴν οἰκουμένην; τίνα δὲ ὅλως εἰσκεκόμισται τρόπον; μυσταγώγησον εὐαγγελιστά, εἰπὲ καὶ νῦν ὦ μακάριε Ἰωάννη· υἱὸς * ἐκλήθης βροντῆς, μέγα τι καὶ ἐξαίσιον κατεκτύπησας τὴν ὑπ' οὐρανόν· ἀθανάτους ἔχεις φωνὰς, καὶ λήθη καὶ χρόνος τοῖς σοῖς παραχωροῦσι λόγοις. ἰδοὺ τοσαύτη ποιμένων ἄθροισις * ἦλθε παρὰ σοί· ἀποκύλισον ἡμῖν τὸν λίθον, ὡς ὁ μακάριος Ἰακὼβ τοῖς ποιμέσιν· ἀποκάλυψον τὸ φρέαρ τῆς ζωῆς· δὸς ἀρύσασθαι καὶ νῦν ἐκ τῶν τοῦ σωτηρίου πηγῶν· μᾶλλον δὲ τὴν σὴν παράθες ἡμῖν πηγήν.

* ἀπεκύη
* ἀξίοις
* ἐπωνόθης
* ἥκω

ANNO CHRISTI 431.

οὐκοῦν * ἀκούσωμεν λέγοντος· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. ἀλλ' ὅτι μὲν ὁ μονογενὴς τοῦ θεοῦ λόγος ἀπόρρητον ἔχει τὴν ἐκ πατρὸς ὕπαρξιν, πεπιστεύκαμεν· πρόσθες τὸ * λοιπὸν ὦ εὐαγγελιστά. ἄκουε πάλιν λέγοντος· καὶ ὁ λόγος σὰρξ ἐγένετο. οὐκ ἐν ἀνθρώπῳ γέγονεν, ἀλλὰ σὰρξ γέγονε, τουτέστιν ἄνθρωπος. γέγονε δὲ ἄνθρωπος ὁ μονογενὴς τοῦ θεοῦ λόγος, οὐκ ἀποβεβληκὼς τὸ εἶναι θεός, ἀλλ' ἐν προσλήψει σαρκὸς μεμενηκὼς, ὅπερ ἦν. ἄτρεπτος γάρ ἐστι καὶ ἀναλλοίωτος ἡ τοῦ λόγου φύσις, καὶ οὐκ οἶδε παθεῖν τροπῆς ἀποσκίασμα. ταῦτα φρονεῖν ἐδίδαξεν ἡμᾶς ὁ μακάριος εὐαγγελιστής, τὸ ἄστρον ἀληθῶς τὸ μέγα καὶ περιφανέστατον, ἄστρον χρησιμώτατον, οὐ τοῖς τὴν αἰσθητὴν * διαπορθμευομένοις θάλατταν, ἀλλὰ τοῖς τῆς εὐσεβείας ἐμπόροις, τοῖς τῆς ἀληθείας ἐρασταῖς, τοῖς ὀρθὴν ἐθέλουσιν ἔχειν καὶ ἀπλανῆ πίστιν. εἴ τις οὖν * ἐρᾷ τοῦτον ναυτίλλεσθαι τὸν τρόπον, ὥσπερ ἄστρον, εἰς νοῦν ἐχέτω τὰς * τοῦ θεηγόρου θεολόγου φωνάς· οὕτω τὰ πικρὰ τῶν αἱρέσεων διαπηδήσει κύματα. οὕτως εἰς εὔδιον καταντήσει λιμένα· καὶ πρὸς αὐτὴν ἥξει τὴν ἀλήθειαν, τουτέστι Χριστόν· μεθ' οὗ τῷ πατρὶ ἡ δόξα καὶ τὸ κράτος σὺν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

* ἀκούομεν

* λεῖπον,

* διαπραγματευομένοις

* αἱρεῖται

* θεηγόρου φωνάς,

Audiamus itaque dicentem: *In principio erat Verbum, & Verbum erat apud Deum, & Deus erat Verbum. hoc erat in principio apud Deum.* Sed vnigenitum Dei Verbum ineffabili modo ex Patre subsistere iam olim credidimus: adde proinde quod reliquum est, o euangelista. Audi itaque rursus dicentem: *Et Verbum caro factum est.* Non venit in hominem, sed caro factum est, id est homo. Est autem vnigenitum Dei Verbum homo factum, non desinens esse Deus, sed in carnis assumptione id manens quod erat. Immutabilis enim est & inalterabilis Verbi natura; nec cadit in illam mutationis adumbratio. Hæc nos sentire docuit beatus euangelista, stella vere magna atque clarissima, stella saluberrima, non iis qui mare hoc sensibile transeunt, sed iis qui in pietate acquirenda negotiantur, qui sunt veritatis amatores, qui rectam errorisque expertem fidem habere cupiunt. Si quis itaque ad hunc modum nauigare cupit, is theologi huius voces, veluti stellam, mente accipiat; eaque ratione * salsos hæreticorum fluctus transiliet, & in serenum tranquillumque portum euadet, atque ad ipsam veritatem, id est Christum, pertinget: cum quo Patri est gloria & imperium, cum sancto Spiritu, in sæcula sæculorum. Amen.

Ioan. 1.

Ibid.

* sæuos hæreseon